26 μήποτε ἐπὶ τὴν γῆν πέσῃ, δι᾽ αὐτῶν ἀνίστασθαι· [26]μήτε ἐάν τις
αὐτὸ ὀρθὸν στήσῃ, δι᾽ ἑαυτοῦ κινηθήσεται, μήτε ἐὰν κλιθῇ, οὐ μὴ
27 ὀρθωθῇ, ἀλλ᾽ ὥσπερ νεκροῖς τὰ δῶρα αὐτοῖς παρατίθεται. [27]τὰς
δὲ θυσίας αὐτῶν ἀποδόμενοι οἱ ἱερεῖς αὐτῶν καταχρῶνται· ὡσαύ-
τως δὲ καὶ αἱ γυναῖκες αὐτῶν ἀπ᾽ αὐτῶν ταριχεύουσαι οὔτε πτωχῷ
οὔτε ἀδυνάτῳ μεταδιδόασιν· τῶν θυσιῶν αὐτῶν ἀποκαθημένη καὶ
28 λεχὼ ἅπτονται. [28]γνόντες οὖν ἀπὸ τούτων ὅτι οὔκ εἰσιν θεοί, μὴ
φοβηθῆτε αὐτούς.
29 [29]Πόθεν γὰρ κληθείησαν θεοί; ὅτι γυναῖκες παρατιθέασιν θεοῖς
30 ἀργυροῖς καὶ χρυσοῖς καὶ ξυλίνοις· [30]καὶ ἐν τοῖς οἴκοις αὐτῶν οἱ
ἱερεῖς διφρεύουσιν ἔχοντες τοὺς χιτῶνας διερρωγότας καὶ τὰς κε-
φαλὰς καὶ τοὺς πώγωνας ἐξυρημένους, ὧν αἱ κεφαλαὶ ἀκάλυπτοί
31 εἰσιν, [31]ὠρύονται δὲ βοῶντες ἐναντίον τῶν θεῶν αὐτῶν ὥσπερ
32 τινὲς ἐν περιδείπνῳ νεκροῦ. [32]ἀπὸ τοῦ ἱματισμοῦ αὐτῶν ἀφελό-
μενοι οἱ ἱερεῖς ἐνδύουσιν τὰς γυναῖκας αὐτῶν καὶ τὰ παιδία.
33 [33]οὔτε ἐὰν κακὸν πάθωσιν ὑπό τινος οὔτε ἐὰν ἀγαθόν, δυνήσονται
ἀνταποδοῦναι· οὔτε καταστῆσαι βασιλέα δύνανται οὔτε ἀφελέσθαι.
34 [34]ὡσαύτως οὔτε πλοῦτον οὔτε χαλκὸν οὐ μὴ δύνωνται διδόναι·
ἐάν τις αὐτοῖς εὐχὴν εὐξάμενος μὴ ἀποδῷ, οὐ μὴ ἐπιζητήσωσιν.
35 [35]ἐκ θανάτου ἄνθρωπον οὐ μὴ ῥύσωνται οὔτε ἥττονα ἀπὸ ἰσχυροῦ
36 οὐ μὴ ἐξέλωνται. [36]ἄνθρωπον τυφλὸν εἰς ὅρασιν οὐ μὴ περιστή-
37 σωσιν, ἐν ἀνάγκῃ ἄνθρωπον ὄντα οὐ μὴ ἐξέλωνται. [37]χήραν οὐ
38 μὴ ἐλεήσωσιν οὔτε ὀρφανὸν εὖ ποιήσουσιν. [38]τοῖς ἀπὸ τοῦ ὄρους
λίθοις ὡμοιωμένοι εἰσὶν τὰ ξύλινα καὶ τὰ περίχρυσα καὶ τὰ περι-
39 άργυρα, οἱ δὲ θεραπεύοντες αὐτὰ καταισχυνθήσονται. [39]πῶς οὖν
νομιστέον ἢ κλητέον αὐτοὺς ὑπάρχειν θεούς;
40 [40]Ἔτι δὲ καὶ αὐτῶν τῶν Χαλδαίων ἀτιμαζόντων αὐτά, οἵ, ὅταν
ἴδωσιν ἐνεὸν οὐ δυνάμενον λαλῆσαι, προσενεγκάμενοι τὸν Βῆλον
41 ἀξιοῦσιν φωνῆσαι, ὡς δυνατοῦ ὄντος αὐτοῦ αἰσθέσθαι, [41]καὶ οὐ
δύνανται αὐτοὶ νοήσαντες καταλιπεῖν αὐτά, αἴσθησιν γὰρ οὐκ ἔχου-
42 σιν. [42]αἱ δὲ γυναῖκες περιθέμεναι σχοινία ἐν ταῖς ὁδοῖς ἐγκάθηνται
43 θυμιῶσαι τὰ πίτυρα· [43]ὅταν δέ τις αὐτῶν ἐφελκυσθεῖσα ὑπό τινος
τῶν παραπορευομένων κοιμηθῇ, τὴν πλησίον ὀνειδίζει, ὅτι οὐκ ἠξίω-
44 ται ὥσπερ καὶ αὐτὴ οὔτε τὸ σχοινίον αὐτῆς διερράγη. [44]πάντα τὰ

25 αυτων] εαυ. A || 26 μητε bis] μηποτε $1^{0}$ A, $2^{0}$ A† | αυτο] -τον A || 27 αυτων $3^{0}$ > B | μεταδιδοασιν] μη μεταδωσιν B† | λεχω Q] λοχω A, λεχως B*†, λοχως B^c† || 29 κληθησονται A† || 30 διφρευ.] διαφθειρουσιν A | εξυρημενοι A† || 32 ενδυσουσιν BA pau. || 35 ου ult. > B†: post -ου || 36 παραστησωσιν A || 37 ποιησωσιν A || 40 βηλον] βηλ A: cf. Ier. 27 2 | φωνησαι] τοτε λαλησαι A(†) || 41 νοησ.] pr. τουτο A† || 42 περιτιθεμεναι A || 43 κοιμηθη] + μετ αυτης A†, + μετ αυτου *L* | πλησιον] + αυτης A†